eul_wid: ciu-aa

*Σωκρατικῶν Ἐπιστολαί* · Socratics Letters

# Socratic Letters on Philosophy

*Ἐπιστολαὶ περὶ Φιλοσοφίας Σωκρατικαί*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Ἐπιστολή* Epistle

t 1 ΣΩΚΡΑΤΙΚΩΝ ΕΠΙΣΤΟΛΑΙ. Ἀντισθένης Ἀριστίππῳ.

8 1 (t) Οὐκ ἔστι τοῦτο φιλοσοφεῖν τὸ παρὰ τυράννοις ἀνδράσιν εἶναι καὶ Σικελικαῖς προσανέχειν τραπέζαις, ἀλλὰ μᾶλλον τὸ ἐν τῇ ἰδίᾳ τῶν αὐτάρκων ἐφίεσθαι. σὺ δ’ οἴει ταύτην εἶναι πλεονεξίαν τοῦ σπουδαίου, τὸ δύνασθαι κτᾶσθαι χρήματα μὲν πολλά, τοὺς δὲ δυνατωτάτους ἔχειν φίλους. οὔτε γὰρ τὰ χρήματα ἀναγκαῖά ἐστιν, οὔτ’, εἰ ἀναγκαῖα ἦν, οὕτωποριζόμενα καλά· οὔτε φίλοι γένοιντο ἂν οἱ πολλοὶ ἀμαθεῖς ὄντες, καὶ ταῦτα τύραννοι. ὥστε σοι συμβουλεύσαιμ’ ἂν ἀπιέναι Συρακουσῶν τε καὶ Σικελίας. εἰ δ’, ὥς φασί τινες, ἡδονὴν θαυμάζεις καὶ τούτων ἀντέχῃ ὧν μὴ προσήκει τοὺς φρονίμους ἀνθρώπους, ἄπιθι εἰς Ἀντίκυραν καὶ ὠφελήσει σε ὁ ἐλλέβορος ποθεὶς πολύς· κρείττων γάρ ἐστιν οὗτος τοῦ παρὰ Διονυσίου οἴνου. ἐκεῖνος μὲν γὰρ μανίαν ποιεῖ πολλήν, οὗτος δὲ ἀποπαύει. ὁπόσον οὖν ὑγίειά τε καὶ φρόνησις νόσου τε καὶ ἀφροσύνης διαφέρει, τοσοῦτον ἂν καὶ σὺ διενέγκαις πρὸς τὰ νῦν σοὶ ὄντα. ἔρρωσο. Ἀρίστιππος Ἀντισθένει.

9 1 (t) Κακοδαιμονοῦμεν, ὦ Ἀντίσθενες, οὐ μετρίως. πῶς γὰρ οὐ μέλλομεν κακοδαιμονεῖν, ὄντες παρὰ τυράννῳ καὶ ὁσημέραι ἐσθίοντες καὶ πίνοντες πολυτελέα καὶ ἀλειφόμενοί τινι τῶν εὐωδεστάτων μύρων καὶ σύροντες ἐσθῆτας μαλακὰς ἐκ Τάραντος; καὶ οὐδείς με ἐξαιρήσεται τῆς Διονυσίου ὠμότητος, ὅς μ’ ὥς τινα ἐνεχύριον οὐκ ἀγνῶτα, ἀλλὰ καὶ λόγων ἐπιμελητὰν τῶν Σωκρατικῶν κατέχει, οἵάπερ ἔφην σιτίζων καὶ ἀλείφων καὶ ἀμφιεννύς, καὶ οὔτε δίκαν φοβεῖται τὰν θεῶν, οὔτ’ ἄνθρωπον αἰδεῖται ὅστις με τοιαῦτα διατίθεται. νῦν δ’ αὖ καὶ τὸ κακὸν εἰς τὸ δεινότερον οἴχεται, ὅπου δεδώρηται γυναῖκας Σικελικὰς τρεῖς ἀναλέκτους τὸ κάλλος καὶ ἀργύρια πάμπολλα. καὶ πότε παύσεται ἄνθρωπος οὗτος τοιαῦτα ποιέων οὐκ οἶδα.

9 2 εὖ οὖν ποιεῖς ἀχθόμενος ἐπὶ τᾷ κακοδαιμονίᾳ τῶν ἄλλων, κἠγὼ δὲ ἐπὶ τᾷ σᾷ εὐδαιμονίᾳ ἅδομαι, ἵνα σοι τὰ αὐτὰ δόξω ποιεῖν τε καὶ ἀποτίνειν τὰς χάριτας. ἔρρωσο. τῶν τε ἰσχάδων ἀποτίθεσο ἵν’ ἔχῃς εἰς τὸ χεῖμα, καὶ τῶν ἀλφίτων τῶν ἔχεις Κρητικῶν (ταῦτα γὰρ δοκέει ἀμείνω τοῦ χράματος εἶναι), καὶ ἀπὸ τᾶς Ἐννεακρούνω λούου τε καὶ πῖνε καὶ τὸν αὐτὸν τρίβωνα θέρους τε καὶ χειμῶνος ἔχε ῥυπόωντα, ὡς πρέπει ἐλεύθερον καὶ ζῶντα ἐν Ἀθήναις δαμοκρατικῶς. ἐγὼ μὲν γὰρ ἐξ οὗ εἰς τυραννουμένην ἧκον πόλιν τε καὶ νᾶσον, ᾔδειν ὅτι κακοδαιμονήσω ταῦτα πάσχων, καθάπερ σύ μοι γράφεις.

9 3 νῦν δὲ ἐλεοῦντές με περιβλέποντι Συρακούσιοι καὶ Ἀκραγαντίνων οἳ ἐπιδημοῦντες καὶ Γελώων καὶ οἱ ἄλλοι Σικελιῶται. τᾶς δὲ μανίας ἇς ἐμάνην εἰς ταῦτα ἐλθὼν ἀβούλως τὰ

ἀτοπήματα, ἐπαρῶμαι ἀρὰν κατ᾽ ἐμαυτοῦ, ἃς ἄξιός εἰμι, μὴ ἐκλιπεῖν με τὰ κακὰ ταῦτα, ὁπότε ἐγὼ γεγονὼς ἔτη τοσαῦτα καὶ φρονεῖν δοκέων πεινῆν καὶ ῥιγοῦν καὶ ἀδοξεῖν οὐκ ἠθέλησα, οὐδὲ πώγωνα τρέφειν μέγαν. πέμψω δέ σοι τῶν θέρμων τὼς μεγάλως τε καὶ λευκώς, ἵν᾽ ἔχῃς μετὰ τὸ ἐπιδείξασθαι τὸν Ἡρακλέα τοῖς νέοις ὑποτραγεῖν· αἰσχρὸν γὰρ οὔ φαντί σοι περὶ τοιούτων λέγειν ἢ γράφειν.

9 4 Διονυσίῳ γὰρ ἐάν τις λέγῃ περὶ θέρμων, αἰσχρόν γε οἶμαι διὰ τὼς τῶν τυράννων νόμως. τὰ λοιπὰ δὲ παρὰ Σίμωνα τὸν σκυτοτόμον βάδιζε διαλεγόμενος, οὗ μεῖζον ἐν σοφίᾳ οὐδ᾽ ἔστιν οὐδ᾽ ἂν γένοιτο. ἐμοὶ μὲν γὰρ ἀπηγόρευται τοῖς χειροτέχναις προσιέναι, ἐπειδὴ ὑφ᾽ ἑτέρων ἐξουσίᾳ εἰμί. Αἰσχίνης Ἀριστίππῳ.

10 1 (t) Ἔγραψα μὲν καὶ Πλάτωνι παρακαλῶν ὅπως διαπράξησθε σωθῆναι τοὺς Λοκροὺς νεανίσκους, καὶ σοὶ δὲ τὰ αὐτὰ ἐπιστέλλων οὐχ ἁμαρτάνειν οἶμαι· ποιήσεις γὰρ ἄσμενος. οἶσθα δὲ τὴν πρὸς αὐτούς μοι ἑταιρείαν, καὶ ὅτι Διονύσιος ἐξηπάτηται, ὡς ἀδικούντων αὐτῶν ἔχων δόξαν. ἤδη πειρῶ τοῦτο ποιῆσαι θᾶττον. ἔρρωσο. Ἀρίστιππος Αἰσχίνῃ.

11 1 (t) Λυθήσονται τᾶς φυλακᾶς οἱ νεανίσκοι περὶ ὧν μοι γράφεις οἱ Λοκροί, καὶ οὐ τεθνάξονται οὐδὲ ἀπολοῦντί τι τῶν χρημάτων, ἥκοντές γε παραυτὰ τοῦ θανεῖν. ταῦτα δὲ Ἀντισθένει μὴ λέξῃς, εἰ σέσωκα τοὺς φίλους· οὐ γὰρ αὐτῷ ἀρέσκει τυράννοις φίλοις χρῆσθαι, ἀλλὰ τὼς ἀλφιτοπώλας καὶ τὼς καπήλως ἀναζητεῖν, οἵτινες δικαίως τὰ ἄλφιτα καὶ τὸν οἶνον πωλοῦσιν ἐν Ἀθήναις καὶ τὰς ἐξωμίδας μισθοῦσι τὰς παχείας, ὁπόταν οἱ σκίρωνες πνέωντι, καὶ τὸν Σίμωνα θεραπεύειν. τοῦτο γὰρ οὐκ ἔστι χρᾶμα. Σίμων Ἀριστίππῳ.

12 1 (t) Ἀκούω σε τωθάζειν ἡμᾶς τῆς σοφίας παρὰ Διονυσίῳ. ἐγὼ δὲ ὁμολογῶ εἶναι σκυτοτόμος καὶ ἐργάζεσθαι τοιαῦτα, καὶ ἕτοιμος, εἰ δέοι, σκύτη τέμνειν αὖ πάλιν εἰς νουθεσίαν ἀνθρώπων ἀφρόνων καὶ οὕτω μετὰ πολλῆς χλιδῆς οἰομένων ζῆν παρὰ τὴν Σωκράτους βουλήν. ἔσται δὲ ὁ σωφρονιστὴς τῶν ἀφρόνων ὑμῶν παιδιῶν Ἀντισθένης· γράφεις γὰρ αὐτῷ κωμῳδῶν ἡμῶν τὰς διατριβάς. ἀλλὰ τούτων μέν, ὦ θεία φρήν, ἅλις πεπαίχθω πρὸς σέ μοι. μέμνησο μέντοι λιμοῦ καὶ δίψης· ταῦτα γὰρ δύναται μεγάλα τοῖς σωφροσύνην διώκουσιν. Ἀρίστιππος Σίμωνι.

13 1 (t) Οὐκ ἐγώ σε κωμῳδῶ, ἀλλὰ Φαίδων, λέγων γεγονέναι σε κρείσσω καὶ σοφώτερον Προδίκω τῶ Κείω, ὃς ἔφα ἀπελέγξαι σε αὐτὸν περὶ τὸ ἐγκώμιον τὸ εἰς τὸν Ἡρακλέα γενόμενον αὐτῷ. θαυμάζω μέντοι σε καὶ ἐπαινῶ, εἰ σκυτικὸς ὢν σοφίας ἐμπλησθεὶς καὶ πάλαι μὲν Σωκράταν ἔπειθες καὶ τὼς καλλίστως τῶν νέων καὶ εὐγενεστάτως παρὰ σὲ καθέζεσθαι, οἷον Ἀλκιβιάδαν τε τὸν Κλεινίου καὶ Φαῖδρον τὸν Μυρρινούσιον καὶ Εὐθύδαμον τὸν Γλαύκωνος καὶ τῶν τὰ κοινὰ πραττόντων Ἐπικράτεα τὸν Σακεσφόρον καὶ Εὐρυπτόλεμον καὶ τὼς ἄλλως, ὡς εἰ καὶ Περικλεῖ γε τῷ Ξανθίππῳ μὴ αἱ στρατηγίαι ἦσαν καὶ ὁ πόλεμος τότε, κἂν οὗτος οἶμαι ἦν παρὰ σέ. καὶ νῦν ἴσμεν ὁποῖος εἶ· Ἀντισθένας γὰρ παρὰ σὲ φοιτᾷ. δύνῃ δὲ καὶ ἐν Συρακούσαις φιλοσοφεῖν· οἱ γὰρ ἱμάντες τίμιοί εἰσι καὶ τὰ σκύτη. καὶ οὐκ οἶσθα, ὡς ἐγὼ μὲν τῶν ὑποδημάτων χρώμενος παρ᾽ ἕκαστα τὰν τέχναν σου θαυμασίαν τινὰ ποιῶ, Ἀντισθένας δὲ γυμνοποδῶν τί γὰρ ἄλλο πράττει ἢ σοὶ ἀργίαν καὶ ἀμισθίαν εἰσάγει, πείθων τὼς νέως καὶ ἅπαντας Ἀθηναίως γυμνοποδεῖν; σκόπει οὖν ὁπόσον σοι ἐγὼ φίλος ὁ ῥᾳστώναν καὶ τὰν ἁδονὰν ἀποδεχόμενος.

13 2 σὺ δὲ ὁμολογῶν εὐλόγως ἐρωτᾶν Πρόδικον, τὸ ἀκόλουθον οὐκ ἔγνως ἐπὶ σαυτοῦ· οὕτω γὰρ ἂν ἐμὲ μὲν ἐθαύμαζες, τὼς δὲ ἔχοντας βαθεῖς τὼς πώγωνας καὶ τὼς σκίπωνας ἐγέλασας τᾶς ἀλαζονείας, ῥυπῶντάς τε καὶ φθειριῶντας καὶ ὄνυχας ὥσπερ τὰ θηρία μακρὼς περικειμένως καὶ ἐναντίας σου τᾶς τέχνας ὑποτιθεμένως ὑποθήκας. Αἰσχίνης Ξενοφῶντι.

14 1 (t) Ἤδη μὲν οἱ περὶ Γρύλλον τὸν παῖδά σου τὸν Γέταν παρὰ δὲ ἐπεπόμφεσαν ἅπαντα ἀπαγγελοῦντα τὰ περὶ Σωκράτην, ἃ ἐγένετο ἔν τε τῇ δίκῃ καὶ τῷ θανάτῳ αὐτοῦ. ἔδει μέντοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ὧδε τὴν τύχην κωλύμην τινὰ ποιήσασθαι, ὥστε μηδὲ σὲ τυχεῖν Ἀθήνησιν, εἶναι δὲ περὶ Λακεδαίμονα. πῶς ἂν οὖν, ὦ Ξενοφῶν, τὴν μιαρίαν τοῦ βυρσοδέψου Ἀνύτου γράφοιμι, τήν τε Μελήτου τόλμαν καὶ τὸ θράσος αὐτοῖν; τούτω γὰρ τὼ μιαρωτάτω ἄνδρε μέχρι τῆς τελευτῆς τῶν πραγμάτων παρεμεινάτην πονηρώ, καὶ ἡμῶν οἰομένων αὐτοὺς τὰς τέχνας αὐτοῖν αἰσχυνθέντας καταθέσθαι ἔτι μᾶλλον ἐχώρησαν τοῦ κακὰ ἡμῖν παρέχειν. καὶ εἴπερ Μέλητος ἐν τῷ δικαστηρίῳ οὐδὲν ἴδιον εἶχε ** , κακοδαίμων ἦν ἄνθρωπος.

14 2 ἦν μὲν γὰρ ἡ ῥίζα τῆς γραφῆς Ἄνυτος δι' ὧν Σωκράτης ἔλεγεν αὐτὸς ἐν τοῖς νέοις ἄρρητα εἶναι τὰ περὶ βύρσας, ὁπότε διαλέγοιτο καὶ κατασκευάζοι περὶ τοῦ ἐπιστήμην ἔχοντας προσιέναι τούτοις τοῖς πράγμασιν οἷς προσίασιν. οὕτως οἱ ἐπαγγελλόμενοι ὁτιοῦν πράττειν ** ἀκούομεν τὸν μαθόντα τὰ ἰατρικὰ καὶ τὰ μουσικὰ Δάμωνά τε καὶ Κόννον τὸν Μητροβίου. οὐ γὰρ ᾐδεῖτο, οἶμαι, ὡς μὴ ἐργασάμενος αὐτά, ὁπόταν οἱ υἱεῖς αὐτοῦ ἀκροασάμενοι Σωκράτους ** ἄχρι νῦν οὔτε τὸ βῆμα αὐτὸν τρέφειν ** οὐ κατατετόλμηται ** καὶ δὴ ἐξηρτήσατο ἑαυτοῦ ἄλλην τέχνην ** κἂν πολλάκις περικρύπτηται περιθέμενος τὴν Ἅιδου κυνῆν ἢ τὸν Γύγου δακτύλιον καὶ δίκας γράφηται τοῖς ἐν τῇ πόλει· ζῇ γὰρ ἀπὸ βυρσοδεψικῆς. τὸ μὲν οὖν ὄνομα, ὥσπερ ἔφην, ἦν Μελήτου τοῦ μαθητοῦ αὐτοῦ καὶ διακόνου ἅμα· οὗτος γὰρ ὥσπερ ἐν τραγῳδίᾳ ὑπεκρίνατο Μενοικέα τὸν φιλόσοφον, ἀφ' οὗ ἠγανάκτει, ὡς ἡ πόλις ἀδικοῖτο ὑπὸ τούτων αὐτή.

14 3 ὁ δὲ λόγος ὁ ἄθλιος ἤθελέ σε εἶναι ἐνθάδε, καὶ ἐγέλασας ἂν ἐν ταῖς συμφοραῖς. ἦν δὲ Πολυκράτους τοῦ λογογράφου, ὃν ἐκεῖνος, ὥσπερ ἐν διδασκάλου παῖδες τὰς ῥήσεις λέγοντες, ἀναβὰς ὁπότε κατηγόρει, ἐδεδίει τε καὶ ἀπεστρέφετο καὶ ἐπελανθάνετο, καὶ ἄλλοι αὐτῷ ὑπέβαλλον, καθότι καὶ Καλλιππίδῃ τῷ ὑποκριτῇ, καὶ κακὸν κακῶς ἄνω τε καὶ κάτω αὐτόν τε καὶ τὸ σύγγραμμα ἐπιτρίψας κατέβη. Σωκράτης δὲ πάντα μᾶλλον ἐνενοήθη τότε ἢ ἀγῶνα ὅτι ἀγωνίζοιτο τοσοῦτον, καί, ὁποῖον γὰρ αὐτὸς οἶδας, μειδιάσας βλοσυρόν τε καὶ μεμιγμένον γέλωτι ἐκεῖνα εἶπεν, ἅ σοι οἱ υἱεῖς γράψαντες ἔπεμψαν· οἵ τε δικασταὶ τότε μὲν κρατούμενοι ὑπὸ τοῦ ἐργαστηρίου παντὸς τοῦ ἔξωθεν περιεστῶτος ὅμως ὑποτιμήσασθαι ἔλεγον, ὃ δὲ μάλα θαρραλέως «τῆς ἐν πρυτανείῳ σιτήσεως ὑποτιμῶμαι ταύτην τὴν δίκην» φησίν.

14 4 οἳ δὲ ἐπέφυσαν τότε δὴ μᾶλλον· καὶ γὰρ ἀπολογουμένου δέος ἐποιοῦντο μὴ ἀποφύγοι. κἂν ἀπέφυγε Σωκράτης. νῦν δὲ οὔτε κολακείαν οὔτε δέησιν ᾤετο δεῖν προσάγειν τινὰ αὐτοῖς, ἀλλὰ τἀληθῆ καὶ δίκαια λέγειν· οὕτω γὰρ ἀπολογούμενος εἰ ἑάλω, μὴ αὐτὸς ᾤετο ἀδικήσειν, τοὺς μέντοι καταψηφισαμένους αὐτοῦ. εἰ μέντοιγε ποιήσας καὶ εἰπὼν ἀνάξια ἑαυτοῦ καὶ φιλοσοφίας ἀπολυθείη, ἀνδραπόδου βίον ἔφη βιώσειν ἐπαράτου, ἄλλως τε καὶ γῆρας αὐτῷ ἔφη ὑποκεῖσθαι καὶ τὸ ζῆν μὴ κρεῖττον αὐτῷ ἔσεσθαι τὸ ἔπειτα, ἀλλὰ κάκιον.

14 5 κἂν εἰ ἀπολυθείη, οὔτε κρεῖττον ἰδεῖν ἢ ἀκοῦσαι ἔτι δύναιτο, ὥστε κατὰ θεὸν αὐτῷ ἐδόκει ἤδη παρεῖναι ὁ θάνατος. καὶ καταψηφισθεὶς γελῶν ἐξῄει καὶ τὸν χρόνον τὸν ἐν τῷ δεσμωτηρίῳ μᾶλλον ἥδετο ἡμῖν διαλεγόμενος ἢ ὁπότε οὐδέπω αὐτὸν ἐγέγραπτο Μέλητος, οὐδὲ ἐνεπεπτώκει εἰς τὸ δεσμωτήριον. ἔλεγε δὲ διότι τὸ οἴκημα, ἔνθα ἦν, καὶ τοὺς δεσμοὺς ἀναγκάζειν αὐτὸν φιλοσοφεῖν· «ἀεὶ μὲν γάρ τοι πρός τινων» ἔφασκεν «ἐν ἀγορᾷ περιειλκόμην.» καὶ τοιαῦτα καὶ τοσαῦτα καὶ οὕτως ἡμῖν διελέγετο, ὥστε ἐπιλανθάνεσθαι πολλάκις ὅτι ἐνεπεπτώκει, καὶ προσπίπτειν λόγοις καὶ φωναῖς τοιαύταις, αἳ οὐκ ἂν λεχθεῖεν ἐν συμφοραῖς, εἶτα ἀναμιμνησκομένους εἰς αὑτοὺς ἐπιτιμᾶν ἡμῖν αὐτοῖς τῆς ἀμνημοσύνης ἕκαστον ἑκάστῳ τῶν παρόντων, τὸν δὲ ὑποτοπάζοντα τὸ γινόμενον ἡμῖν πάθος διασκοπεῖν καὶ λέγειν, ὡς οὐ μέλει ἡμῖν εἰ αὐτίκα τεθνήξοιτο, ὅτι οὕτω γελῷμεν.

14 6 καὶ ἐπιλαβόμενος αὖ Κρίτωνος «ὦ μῶρε» ἔφη, «νῦν γὰρ θάνε Ὀλύμπια καὶ πᾶσα πανήγυρις, ἐπειδὴ ἀποδημεῖν μέλλομεν εἴς τι χωρίον κρεῖττον καὶ τούτου τεθανατωμένοι ὡς πρὸς τὴν ἀλήθειαν.» ἑτέρους τε λόγους καὶ πολλοὺς καὶ καλοὺς πρὸς Κέβητα καὶ Σιμμίαν τὼ Θηβαίω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διελέχθη, ὅτι εἴη ἡ ψυχὴ ἀθάνατος καὶ ὅτι οἱ τῆς φρονήσεως ἐπιμεληθέντες εἰς χῶρον τῶν θεῶν ἀπίασι καὶ οὐδὲν δεινὸν ἐν τῷ λεγομένῳ θανάτῳ πάσχουσιν, ὥσθ’ ἡμᾶς μὴ οἷον κλαίειν Σωκράτην ὅτι μέλλει ἀποθνήσκειν ἀλλὰ φθονεῖν αὐτῷ, ἡμᾶς δὲ αὐτοὺς κλαίειν ὅτι ζῶμεν τητώμενοι τοσούτου ἀγαθοῦ τῇ ἀληθείᾳ.

14 7 ἀποδημίαν γὰρ ἔλεγε τὸ χρῆμα τοῦτο, καὶ Εὐηνὸν τὸν ποιητὴν παρεκάλει δι’ ἡμῶν, εἰ εὖ γινώσκοι, ἰέναι θᾶττον παρ’ αὐτόν, ἐπειδὴ φιλόσοφός ἐστι διὰ τὴν ποίησιν. τὸν γὰρ φιλόσοφον μηδὲν ἄλλο ποιεῖν ἢ θανατᾶν, ἐπειδὴ τῶν τοῦ σώματος αἰτημάτων καταφρονεῖ, μὴ δουλούμενος ταῖς τοῦ σώματος ἡδοναῖς, τοῦτο δὲ μηδὲν ἕτερον εἶναι ἢ ψυχῆς ἀπόστασιν ἀπὸ σώματος, τὸν δὲ θάνατον μηδὲν ἕτερον εἶναι ἢ ψυχῆς αὖ πάλιν ἀπὸ σώματος ἀπόστασιν.

14 8 τούτῳ γὰρ δὴ καὶ μάλα τις πειθήνιος ἐγίνετο· ἐξηπάτα γὰρ ἡμᾶς τούτοις τοῖς λόγοις, οἶμαι, ἵνα μὴ κλαίωμεν ὡς ἐν κακῷ ἐσομένου αὐτοῦ, σχεδὸν δέ τι καὶ ἀληθεῖς ἦσαν οἱ λόγοι. εἶτα δὴ ἐτελεύτα ποιήσας ἡμέρας τριάκοντα διὰ τὸ πλοῖον τὸ εἰς Δῆλον πεμπόμενον κατ’ ἔτος· οὐ γὰρ ἀφῖκτο ἐπὶ πολλὰς ἡμέρας καὶ οὐκ ἦν τινὰ τελευτᾶν δημοσίᾳ, ὥσπερ οἶσθα· ἱεραὶ γὰρ ἦσαν. τῶν δὲ φίλων παρῆμεν αὐτῷ τελευτῶντι ἐγὼ καὶ Τερψίων καὶ Ἀπολλόδωρος καὶ Φαίδων καὶ Ἀντισθένης καὶ Ἑρμογένης καὶ Κτήσιππος, Πλάτων δὲ καὶ Κλέομβροτος καὶ Ἀρίστιππος ὑστέρουν· ὁ μὲν γὰρ Πλάτων ἐνόσει, τὼ ἑτέρω δὲ περὶ Αἴγιναν ἤστην.

14 9 ὡς δ’ ἔπιε τὸ φάρμακον, ἐπέστελλεν ἡμῖν τῷ Ἀσκληπιῷ θῦσαι ἀλεκτρυόνα· ὀφείλειν γὰρ αὐτῷ κατ’ εὐχήν τινα, ὁπότε ἠσθένει ἀφικόμενος ἀπὸ τῆς ἐπὶ Δηλίῳ μάχης. δακρύσαντες οὖν μετά τινος θαυμασμοῦ ἐκκομίζοντες αὐτὸν κατεθάπτομεν, ὡς τότε ὁ καιρὸς ἐδίδου καὶ αὐτὸς ἐβούλετο; οὐδὲ γὰρ πρόνοιάν τινα ἡμῖν ἐπέστειλε ποιήσασθαι τοῦ σώματος, εἶναι γὰρ αὐτὸ ἄτιμον καὶ μηκέτι χρήσιμον τῆς ψυχῆς αὐτὸ ἐγκαταλιπούσης.

14 10 ὅμως δ’ οὖν ἡμεῖς εἰς τὸ δυνατὸν καὶ τῆς συμφορᾶς ὑπερείδομεν καὶ τῶν λόγων παρηκούσαμεν καὶ ὡς οἷόν τ’ ἦν ἐκαλλωπίσαμεν αὐτὸν λούσαντες καὶ τοῖς τριβωνίοις ἀμπίσχοντες καὶ πρεπόντως θάψαντες ἀπῇμεν. ταῦτ’ ἦν τὰ περὶ Σωκράτην καὶ ἡμᾶς, ὦ Ξενοφῶν. καὶ σοὶ δὲ ἡ στρατεία ἦν μέγα ἐμπόδιον, ἐπεὶ ἦσθα ἂν σὺν ἡμῖν θεραπεύων Σωκράτην ζῶντά τε καὶ τελευτῶντα. Ξενοφῶν τοῖς Σωκράτους ἑταίροις.

15 1 (t) Καὶ οἱ περὶ Γρύλλον τὸν υἱέα μου ἐποίουν ὅπερ ἦν εἰκὸς αὐτοὺς ποιεῖν, καὶ ὑμεῖς δὲ εὖ πράττετε γράψαντες ἡμῖν τὰ περὶ Σωκράτους. δεῖ μέντοι γε ἡμᾶς ἄνδρας ἀγαθοὺς γίνεσθαι κἀκεῖνον μὲν ἐπαινεῖν ὧν ἐβίωσε σωφρόνως καὶ ὁσίως καὶ εὐσεβῶς, αἰτιᾶσθαι δὲ καὶ ψέγειν τὴν τύχην καὶ τοὺς ἐπισυστάντας αὐτῷ, οἳ οὐκ εἰς μακρὰν τίσουσι δίκην. δεινὸν δὲ ποιοῦνται καὶ Λακεδαιμόνιοι (τὸ γὰρ πάθος ἤδη ἄχρι καὶ δεῦρο διῖκται) καὶ κακίζουσι τὸν δῆμον ἡμῶν, λέγοντες ὡς πάλιν ἀφραίνει, ἐπεὶ τὸν σοφώτατον καὶ παρὰ τῆς Πυθίας μαρτυρηθέντα σωφρονέστατον ἐπείσθησαν ἀποκτιννύναι. εἴ του δέοιντο οἱ Σωκράτους ἑταῖροι ὧν ἐπέμψαμεν, σημαίνετόν μοι· ἐπικουρήσομεν γάρ, ἐπειδὴ τοῦτο καλὸν καὶ ἀναγκαῖόν ἐστιν.

15 2 εὖ ποιεῖτε τὸν Αἰσχίνην ἔχοντες ἐν αὑτοῖς, ὥστε γράφειν μοι· δοκεῖ μέντοι χρῆναι ἡμᾶς συγγράφειν ἅ ποτε εἶπεν ἁνὴρ καὶ ἔπραξε, καὶ αὕτη ἀπολογία γένοιτ’ ἂν αὐτοῦ βελτίστη εἰς τὸ νῦν τε καὶ εἰς τὸ ἔπειτα, οὐκ ἐν δικαστηρίῳ ἀγωνιζομένων ἡμῶν, ἀλλ’ εἰς ἅπαντα τὸν βίον παρατιθέντων τὴν ἀρετὴν τἀνδρός. καί φημι δὴ ἀδικήσειν τὴν κοινὴν ἑταιρείαν καί, ὡς ἐκεῖνος ἔλεγε, τὴν ἀλήθειαν, εἰ μὴ ἄσμενοι γράψαιμεν. ἤδη δέ μοι καὶ Πλάτωνος περιέπεσε σύγγραμμα τοιοῦτον, ὅπου τοὔνομα ἦν τὸ Σωκράτους καὶ διάλεξίς τις οὐ φαύλη πρός τινας.

15 3 οἶμαι τοίνυν περὶ Μέγαρα ἀνέγνων ** ὡς λέγεταί τινα τῶν Μεγαρέων τῶν τοιούτων. ἡμεῖς μέντοι φαμέν, οὐχ ὅτι τοιαῦτα οὐκ ἀκηκόαμεν, ἀλλ’ ὅτι τοιαῦτα οὐ δυνάμεθα ἀπομνημονεύειν· οὐδὲ γὰρ ἐσμὲν ποιηταί, ὥσπερ καὶ αὐτός, κἂν πάνυ ἀπαρνῆται ποιητικήν. θρυπτόμενος γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς τοὺς καλούς φησι μηδὲν εἶναι ποίημα αὐτοῦ, Σωκράτους μέντοι νέου καὶ καλοῦ ὄντος. ἔρρωσθόν μοι ὡς ἁρμονιωδεστάτω ἄνδρε. Ἀριστίππου.

16 1 (t) Τὰ περὶ τᾶς τελευτᾶς Σωκράτους ἐμάθομεν ἐγώ τε καὶ Κλεόμβροτος, καὶ ὅτι οὐδὲ παρέμενος ὑπὸ τῶν ἕνδεκα διαδρᾶναι ὑπέμεινε, λέγων ὅτι οὐδὲ νῦν μέλλει διδράσκειν, εἰ μὴ καὶ πρότερον παρὰ τὼς νόμως ἐσώθη· οὕτω γὰρ ἂν ἁ πατρὶς αὐτῶ ὅσον ἐφ' ἑαυτῷ καταπροδοθείη. ἐμοὶ δὲ ἐδόκει ἀδίκως αὐτὸν ἐμπεσόντα ὁτῳδήποτε τρόπῳ σώζεσθαι. δοκῶ μέντοι πάντα τὰ ἐκείνῳ πρασσόμενα καὶ κακὰ καὶ ἄφρονα δίκαια εἶναι, ὥστε ταῦτα πάλιν μὴ ἐπιμέμφεσθαι ἀμέτρως γεγονέναι. ἐπέστειλας δέ μοι πῶς ἀνεχωρήσατε πάντες ἀπ' Ἀθηνῶν οἱ Σωκράτους ἐρασταί τε καὶ φιλόσοφοι, δεδιότες μή τι καὶ ἐφ' ὑμᾶς ἔλθοι τῶν αὐτῶν, καὶ οὐκ ἐποιεῖτε φλαύρως. καὶ ἁμὲς οὖν, ὡς ἔχομεν, ἐν Αἰγίνᾳ διατελέομες ἐπὶ τοῦ παρόντος, εἶτα δὲ παρ' ὑμᾶς ἀφιξόμεθα καὶ εἴ τι ἔχομες βέλτιον ποιέειν ποιήσομες. Εἰδὼς ὅπως εἶχες πρὸς Σωκράτην ζῶντα καὶ πρὸς ἡμᾶς τοὺς ἐκείνου φίλους, καὶ ὅτι κατὰ τὸ εἰκὸς ἐθαύμασάς τε καὶ ἐσχετλίασας εἰ ὁ πρὸς σέ τε καὶ τὸν Κεῖον Πρόδικον καὶ Πρωταγόραν τὸν Ἀβδηρίτην διαμαχόμενος περὶ ἀρετῆς, ᾗ ἂν γένοιτο καὶ ὅπως ἂν γένοιτο καὶ ὅτι χρὴ ταύτης πάντας ἐφίεσθαι, οὗτος ὡς πονηρότατος καὶ ἀμαθέστατος τοῦ καλοῦ καὶ τοῦ δικαίου πρός τε θεοὺς καὶ πρὸς ἀνθρώπους τοῖς ἕνδεκα δόξαν ἀνῃρέθη, ἔγραψά σοι πυθόμενος ὅτι οἴκοι εἴης ἐν Χίῳ, περὶ τῶν ἔπειτα, ἵνα ᾐσθείης.

17 2 Ἀθηναῖοι γὰρ ἤδη ποτὲ ἀφυπνώσαντες Ἄνυτόν τε καὶ Μέλητον ὡς ἀνοσιουργοὺς προσκαλεσάμενοι ἀπέκτειναν ὅτι αἴτιοι τῇ πόλει ἐγένοντο τοσούτου κακοῦ. προφάσεις δὲ αὗται κατ' αὐτοῖν εὑρέθησαν· κατηφεῖς μὲν γὰρ Ἀθηναῖοι περιῄεσαν μετὰ τὸν θάνατον αὐτοῦ παρὰ πάντων εὐθυνόμενοι τῶν γενομένων, ὅτι ἄρα οὐκ ἐχρῆν οὐκ ἀδικοῦντα αὐτὸν κατηγορηθῆναι, μὴ ὅτι ἀποκτιννύναι. τί γὰρ εἰ τὴν πλάτανον ἢ τὸν κύνα ὤμνυε; τί δὲ εἰ ἀνηρώτα ἰδίᾳ καὶ κοινῇ πάντας ἀνθρώπους, ὅτι οὐδὲν εἰδεῖεν οὔτε δίκαιον οὔτε καλόν; εἶτα δὲ οἱ νέοι πάντες εἰς ἀκρασίαν καὶ ἀκοσμίαν ἐτρέποντο ἐν τῇ πόλει· ἀεὶ γὰρ τοῦτον καθοσονοῦν ᾐσχύνοντο. ἐκίνησε δὲ αὐτοὺς μάλιστα καὶ τὸ τοῦ νεανίσκου τοῦ Λακεδαιμονίου πάθος.

17 3 ἧκε γάρ τις κατ' ἔρωτα Σωκράτους συγγενέσθαι αὐτῷ, μὴ προειδὼς Σωκράτην, ἀλλ' ἀκούων περὶ αὐτοῦ. ὡς δὲ ἡδομένῳ αὐτῷ τῆς ἀφίξεως ὄντι ἤδη περὶ τὰς πύλας τοῦ ἄστεος προσηγγέλθη ὅτι Σωκράτης, πρὸς ὃν ἐληλύθοι, τεθνήκοι, ἐς μὲν τὴν πύλην οὐκέτι εἰσῆλθε, διαπυθόμενος δὲ ὅπου εἴη ὁ τάφος, προσελθὼν διελέγετο τῇ στήλῃ καὶ ἐδάκρυε, καὶ ἐπειδὴ νὺξ κατέλαβεν αὐτόν, κοιμηθεὶς ἐπὶ τοῦ τάφου, ὄρθρου πολλοῦ φιλήσας τὴν ἐπικειμένην αὐτῷ κόνιν, πολλὰ δὲ περιασπασάμενος πάσῃ φιλότητι ᾤχετο ἀπιὼν Μέγαράδε. ᾔσθοντο οὖν καὶ τοῦτο Ἀθηναῖοι καὶ ὅτι μέλλοιεν Λακεδαιμονίοις διαβάλλεσθαι ἐπὶ τοῖς δεινοτάτοις, εἰ ἐκείνων μὲν οἱ υἱεῖς τοὺς παρ' αὐτοῖς σοφοὺς δι' ἔρωτος ποιοῦνται, αὐτοὶ δὲ ἀποκτιννύασι, καὶ οἳ μὲν τοσοῦτον διάστημα ἀφικνοῦνται ἰδεῖν Σωκράτην, οἳ δὲ οὐχ ὑπομένουσι παρ' αὑτοῖς ἔχοντες αὐτὸν φυλάξαι.

17 4 χαλεπηνάμενοι οὖν μόνον οὐ διέφαγον τὼ πονηρὼ ἄνδρε ἐκείνω, ὥστε τὴν μὲν πόλιν ἀπολελογῆσθαι ὅτι αὐτὴ τούτων οὐδὲν δρᾷ, τοὺς δ' αἰτίους τεθνάναι. ἐκριφέντες οὖν οἷόν τι κοινὸν ἄγος τῶν Ἑλλήνων, μᾶλλον δὲ πάντων ἀνθρώπων, ὤνησαν μὲν ἡμᾶς, ὤνησαν δὲ καὶ τοὺς ἄλλους ταῦτα παθόντες. πάλιν οὖν συνελευσόμεθα Ἀθήναζε οἱ ἀναξίως ἀνασεσοβημένοι ὡς τὸ πρόσθεν. Ξενοφῶν τοῖς Σωκράτους ἑταίροις.

18 1 (t) Ἄγοντες τὴν ἔτειον ἑορτὴν τῇ Ἀρτέμιδι τῇ ὑφ' ἡμῶν καθιδρυμένῃ περὶ τὴν Λακωνικὴν ἐπέμψαμεν παρ' ὑμᾶς ἵνα ἵκοισθε, καλὸν μέν, εἰ πάντες, εἰ δὲ μὴ οἷόν τε, συνθύτας τινὰς ἐξ ὑμῶν πέμψαιτε· τοῦτο γὰρ κεχαρισμένον ἡμῖν ἐστίν. ἐγένετο δὲ Ἀρίστιππος ἐνθάδε καὶ ἔτι πρότερον Φαίδων, καὶ ἐγανύσκοντο τοῦ τόπου καὶ τῆς ἄλλης δημιουργίας τῶν οἰκοδομιῶν καὶ τῶν φυτῶν, ἅτινα αὐτὸς ταῖς ἐμαυτοῦ χερσὶν ἐφυτευσάμην. ἔχει γὰρ ὁ τόπος καὶ θήραν, ὥστε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔνι ἡμῖν καὶ κυνηγετεῖν, ἵνα μετ’ ἀνδρείας, ὅπερ καὶ φίλον τῇ θεῷ, θαλίας ἄγωμεν καὶ χάριν εἰδῶμεν αὐτῇ ὅτι με ἀνεσώσατο ἄρα ἀπὸ βασιλέως τοῦ βαρβάρου καὶ τῶν ἔπειτα περί τε τὸν Πόντον καὶ τὴν Θρᾴκην κακῶν σχεδόν τι μειζόνων, ὅτε δὴ ἐδοκοῦμεν ἤδη σεσῶσθαι ἀπὸ τῆς τοσαύτης πολεμίας γῆς. εἰ δὲ μὴ ἴητε, ἡμῖν μὲν ἦν ἀναγκαῖον γράφειν ὑμῖν.

18 2 πεποίημαι δέ τινα ἀπομνημονεύματα Σωκράτους. ὅταν οὖν μοι δόξῃ εὖ ἔχειν παντελῶς, διαπέμψομαι αὐτὰ καὶ ὑμῖν· Ἀριστίππῳ μὲν γὰρ καὶ Φαίδωνι ἐδόκει ἁρμόδιά τινα εἶναι. προσαγορεύσατε Σίμωνα τὸν σκυτοτόμον καὶ ἐπαινέσατε αὐτόν, ὅτι διατελεῖ προσέχων τοῖς Σωκράτους λόγοις καὶ οὔτε πενίαν οὔτε τὴν τέχνην πρόφασιν ποιεῖται τοῦ μὴ φιλοσοφεῖν, καθάπερ τινὲς τῶν ἄλλων μὴ βουλόμενοι λόγους καὶ τὰ ἐν λόγοις ἐξειδέναι τε καὶ θαυμάζειν. Τοῦ αὐτοῦ.

19 1 (t) Ἧκε, θαυμασιώτατε, παρ’ ἡμᾶς· πεποίηται γὰρ ἡμῖν ἱερὸν τῆς Ἀρτέμιδος μάλα ἀριπρεπές, καὶ περίφυτος ὁ χῶρος καὶ ἀνεῖται ἱερὸς εἶναι. καὶ τὰ ὄντα ἡμᾶς διαβοσκήσει· ὡς γὰρ Σωκράτης ἔλεγεν, εἰ μὴ ἀρκέσει ἡμῖν ταῦτα, ἡμεῖς αὐτοῖς ἀρκέσομεν. ἔγραψα δὲ καὶ Γρύλλῳ τῷ υἱῷ καὶ τῷ ἑταίρῳ, εἴ του δέοιο, παρέχειν σοι. Γρύλλῳ δ’ ἔγραψα, ἐπειδὴ ἀπὸ νέου ἔτι κομιδὴν εἰς αὐτὸν ἐβάλλου καὶ φιλεῖν ἔλεγες. ἔρρωσο. Τὴν μὲν σὴν καρτερίαν καὶ πάλαι ᾔδειν καὶ σφόδρα θαυμάζω, διότι διατελεῖς παντὸς ὢν ἐπάνω πλούτου καὶ δόξης καὶ ἐξ ὧν βιοῖς οἷον ἀπεικόνισμά τι Σωκράτους περίει Ἀθήνησιν.

20 1 ἡμεῖς δὲ καὶ αὐτοὶ ἐπιμελούμεθα νέων ἐν Θήβαις, παραδιδόντες αὐτοῖς οὓς ἠκούσαμεν λόγους παρὰ Σωκράτους. ἔστι τε τοῦτο καὶ ἡμῖν καὶ τοῖς συνοῦσι κεχαρισμένον. Ξενοφῶν Ξανθίππῃ.

21 1 (t) Εὔφρονι τῷ Μεγαρεῖ ἔδωκα ἀλφίτων χοίνικας ἓξ καὶ δραχμὰς ὀκτὼ καὶ ἐξωμίδα καινήν, τὸ χεῖμά σοι διαγαγεῖν. ταῦτα οὖν λάβε καὶ ἴσθι Εὐκλείδην καὶ Τερψίωνα πάνυ καλώ τε κἀγαθὼ ἄνδρε καὶ σοί τε καὶ Σωκράτει εὔνω. ἡνίκα δ’ ἂν οἱ παῖδες ἐθέλοιεν παρ’ ἡμᾶς ἰέναι, μὴ κώλυε· οὐ γὰρ πόρρω ἐστὶν ἰέναι εἰς Μέγαρα. τῶν δὲ πολλῶν σοι δακρύων, ὦ ’γαθή, ἅλις· ὀνήσει γὰρ οὐδέν, σχεδὸν δέ τι καὶ βλάψει. ἀναμιμνήσκου γὰρ ὧν ἔλεγε Σωκράτης, καὶ τοῖς ἤθεσιν αὐτοῦ καὶ τοῖς λόγοις πειρῶ ἀκολουθεῖν, ἐπεὶ λυπουμένη παρ’ ἕκαστα καὶ σεαυτὴν ἀδικήσεις ὅτι μάλιστα καὶ τοὺς παῖδας. οὗτοι γὰρ οἱονεὶ νεοττοί εἰσι Σωκράτους, οὓς δεῖ οὐ μόνον τρέφειν ἡμᾶς, ἀλλὰ καὶ ἡμᾶς αὐτοὺς αὐτοῖς πειρᾶσθαι παραμένειν.

21 2 ὡς εἰ σὺ ἢ ἐγὼ ἢ ἄλλος τις, ὅτῳ μέλει τελευτήσαντος Σωκράτους τῶν παίδων, ἀποθάνοι, ἀδικήσονται οὗτοι ἔρημοι γενόμενοι τοῦ βοηθήσοντος καὶ θρέψοντος ὁμολογουμένως. ὅθεν πειρῶ ζῆν αὐτοῖς. τοῦτο δὲ οὐκ ἂν ἄλλως γένοιτο, εἰ μὴ τὰ πρὸς τὸ ζῆν αὑτῇ παρέχοις. λύπη δὲ δοκεῖ τῶν ἐναντίων ζωῇ εἶναι, ὅπου βλάπτονται ὑπ’ αὐτῆς οἱ ζῶντες. Ἀπολλόδωρος ὁ μαλακὸς ἐπικαλούμενος καὶ Δίων ἐπαινοῦσί σε, διότι παρ’ οὐδενὸς οὐδὲν λαμβάνεις, φῂς δὲ πλουτεῖν.

21 3 καὶ εὖ ποιεῖς· εἰς ὅσον γὰρ ἐγώ τε καὶ οἱ ἄλλοι φίλοι ἰσχύομεν ἐπικουρεῖν σοι, δεήσει οὐδενός. θάρρει οὖν, ὦ Ξανθίππη, καὶ μηδὲν καταβάλῃς τῶν Σωκράτους καλῶν, εἰδυῖα ὡς μέγα τι ἡμῖν ἐγένετο οὗτος ὁ ἄνθρωπος, καὶ ἐπινόει αὐτὸν ὁποῖα ἔζησε καὶ ὁποῖα ἐτελεύτησεν. ἐγὼ μὲν γὰρ οἶμαι καὶ τὸν θάνατον αὐτοῦ μέγαν τε καὶ καλὸν γεγονέναι, εἰ δή τις, καθὸ χρὴ σκοπεῖν, σκοποίη. ἔρρωσο. Ξενοφῶν Κέβητι καὶ Σιμμίᾳ.

22 1 (t) Ἦν λόγος ὅτι πένητος πλουσιώτερον οὐδὲν εἴη. κινδυνεύω γάρ, ὡς ὁρῶ, μὴ πολλὰ ἔχων πολλὰ κεκτῆσθαι δι’ ὑμᾶς τοὺς φίλους, οἵτινες ἐπιμελεῖσθε ἡμῶν. ποιοῖτε δ’ ἂν εὖ, εἰ, ὅταν ὑμῖν περί του γράψω, πέμποιτέ μοι. τῶν δὲ συγγραμμάτων οὔπω τι εἶχον τοιοῦτον, ὥστε καὶ ἄλλοις θαρρεῖν δεικνύναι δίχα ἐμοῦ, ὡς παροῦσιν ὑμῖν ἔνδον ἐν τῷ οἴκῳ, ἔνθα Εὐκλείδης κατέκειτο, ἀσμένως ἐλέσχαινον. οἴδατον δὲ δή, ὦ φίλοι, ὡς οὐχ οἷόν τε ἀναλαβεῖν ἐστὶ τὸ ἅπαξ ἐλθὸν εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς πολλοὺς γράμμα. Πλάτων μὲν γὰρ δύναταί τι μέγα καὶ ἀπὼν τοῖς λόγοις, ὅθεν ἤδη καὶ περὶ Ἰταλίαν θαυμάζεται καὶ περὶ Σικελίαν πᾶσαν, ἡμεῖς δὲ μόλις οἶμαι ἑαυτοὺς πείθομεν ὡς ἄξια ταῦτα σπουδῆς τινός.

22 2 καὶ οὐχ ὅτι ἐμοὶ μέλει μὴ διαπίπτειν περὶ τῆς δόξης τῆς περὶ τὴν σοφίαν, ἀλλὰ περὶ Σωκράτους φροντιστέον μὴ ἐν ἐμοὶ κινδυνευθῇ τὴν ἐκείνου ἀρετὴν κακῶς εἰπόντι ἐν τοῖς ἀπομνημονεύμασιν. οὐδέν τε οἶμαι διαφέρειν ἢ βλασφημεῖν τινὰ ἢ μὴ ἄξια δοκεῖν συγγράφειν τῆς ἀρετῆς, περὶ ὅτου συγγράφει τις. τὸ δέος οὖν τοῦτό ἐστιν, ὅγε νῦν ἡμᾶς ἔχει, ὦ Κέβης τε καὶ Σιμμία, εἰ μή τι ἕτερον δόξει ὑμῖν αὖ πάλιν περὶ τούτων. ἔρρωσθον. Αἰσχίνης Φαίδωνι.

23 1 (t) Ὁπότε ἐγενόμην ἐν Συρακούσαις, εὐθέως κατὰ τὴν ἀγορὰν Ἀριστίππῳ ἐνέτυχον, ὃ δὲ λαβόμενός μου τῆς δεξιᾶς παραχρῆμα μηδὲν μελλήσας εἰσάγει πρὸς Διονύσιον, καί φησιν αὐτῷ «ὦ Διονύσιε, εἴ τις ἀφίκοιτο παρὰ σέ, ἵνα σε ἄφρονα ποιήσειεν, ἆρ' οὗτος οὐχὶ κακά σε ἐργάζεται;» εὐθέως ὡμολόγει ὁ Διονύσιος. «τί οὖν» ἔφη ὁ Ἀρίστιππος «σὺ τοῦτον ἂν ἐργάσαιο;» «τὰ κάκιστά γε» ἔφη. «τί δ' εἴ τις» ἔφη «ἀφίκοιτο φρόνιμόν σε ποιῆσαι, ἆρά γε οὐχὶ οὗτος ἂν ἀγαθά σε ἐργάζοιτο;» πάλιν ὁμολογήσαντος τοῦ Διονυσίου «καὶ μήν» ἔφη «οὗτος Αἰσχίνης τῶν Σωκράτους γνωρίμων ἥκει φρόνιμόν σε ποιῆσαι, ὥστε καὶ ἀγαθά σε ἐργάζοιτο ἄν· εἰ δὲ ταῦτα δικαιοῖς, ἅτινα ὡμολόγησάς μοι ἐν τῷ λόγῳ, Αἰσχίνην εὖ ποιήσεις.» κἀγὼ ὑπολαβὼν ἔφην «ὦ Διονύσιε, ἑταιρικόν τι καὶ θαυμαστὸν ποιεῖ Ἀρίστιππος οὗτος συλλαμβάνων μοι· ἡμῖν δὲ οὐ τοσαύτη ἐστὶ σοφία, ἀλλ' ὁπόση μὴ ἀδικῆσαί τινα ἐν τῇ συνουσίᾳ.

23 2 » ἀγάμενος δέ με τοῦ εἰρημένου ἔφη ὁ Διονύσιος καὶ Ἀρίστιππον ἐπαινεῖν [τῶν εἰρημένων] καὶ ἐμὲ εὖ ποιήσειν ἅτινα ὡμολόγησεν ἐν τῷ πρὸς Ἀρίστιππον λόγῳ. οὗτος οὖν ἤκουσεν ἡμῶν τοῦ Ἀλκιβιάδου καὶ ἡσθείς, ὡς ἐφαίνετο, παρεκάλει καὶ εἴ τινες ἄλλοι εἰσὶν ἡμῖν τῶν διαλόγων ἀναπέμψαι. ὑπισχνούμεθα οὖν ταῦτα ἡμεῖς, ὦ ἄνδρε φίλω τε καὶ ἑταίρω, ἀφιξόμεθά τε διὰ ταχέων. ἀναγινώσκοντος δέ μου παρῆν Πλάτων (ὀλίγου δεῖν ἔλαθον γράψαι ὑμῖν), καὶ ἐδόκει αὐτῷ ἰδίᾳ περὶ ἐμοῦ διαλέγεσθαι διὰ τὸν Ἀρίστιππον. ἔφη γάρ μοι, ὡς τοῦ Διονυσίου ἀπηλλάγη, «ὦ Αἰσχίνη, τούτου παρόντος τοῦ ἀνθρώπου» (ἔλεγε τὸν Ἀρίστιππον) «οὐδὲν οὐδαμῇ ἔγωγε ῥᾳδίως ἐθέλω λαλεῖν, Διονύσιος μέντοι μαρτυρήσει μοι ἅτινα ἐγὼ εἶπον περὶ σοῦ.

23 3 » καὶ ὁ Διονύσιος τῇ ὑστεραίᾳ ἐν τῷ κήπῳ πόλλ' ἄττα ἐμαρτύρει τῷ Πλάτωνι ὡς εἰρηκότι περὶ ἐμοῦ. τῆς μέντοι παιδιᾶς τῆς πρὸς ἀλλήλους (παιδιὰν γὰρ αὐτὸ χρὴ λέγειν) παρεκάλουν αὐτοὺς παύσασθαι, τόν τε Ἀρίστιππον καὶ τὸν Πλάτωνα, διὰ τὴν πρὸς τοὺς πολλοὺς δόξαν· οὐ γὰρ καταγελαστότερον ἔτι ἔχοιμεν ἂν ἄλλ' ἄττα πράττοντες ἢ τοιαῦτα ἐπιδεικνύμενοι. Πλάτωνος.

24 1 (t) Οὔπω μὲν εἶχον τούτων τι πέμπειν εἰς Συρακούσας, ὧν ἔφης Ἀρχύταν δεηθῆναι λαβεῖν παρὰ σοῦ, θᾶττον δὲ καὶ οὐ διὰ μακροῦ πέμψομέν σοι. ἐμοὶ δὲ φιλοσοφία οὐκ οἶδ' ὅ τι ποτὲ χρῆμα γέγονεν, ἆρά γε φλαῦρον ἢ καλόν, ὁπότε ἐγὼ μισῶ νῦν συνεῖναι τοῖς πολλοῖς. οἶμαι μὲν οὖν ὡς δικαίως διάκειμαι, ἀμαθαίνουσι δὲ κατ' ἰδέαν πᾶσαν ἀφροσύνης οἵ τε ἰδίᾳ τι πονοῦντες καὶ οἱ τὰ κοινὰ πράττοντες. εἰ δὲ ἀλόγως τοῦτο πάσχω, οὕτω γε ἴσθι, ὅτι μόλις ἂν οὕτως ἐγένετό μοι ζῆν, ἄλλως δὲ οὐκ ἔνι μοι ψυχῆς λαμβάνειν. διὸ δὴ ἐκ τοῦ ἄστεος ἀπηλλάγην ὥσπερ εἱρκτῆς θηρίων, διατρίβω μέντοι οὐ μακρὰν Ἰφιστιαδῶν· κἀκ τούτων τῶν χωρίων συνέγνων ὅτι Τίμων οὐκ ἦν ἄρα μισάνθρωπος, μὴ εὑρίσκων μέντοι ἀνθρώπους οὐκ ἠδύνατο θηρία φιλεῖν, ὅθεν καθ' ἑαυτὸν καὶ μόνος διεβίου.

24 2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κινδυνεύω δὲ τυχὸν ἴσως μηδὲ ἐκείνως εὖ λογίζεσθαι. σὺ δὲ ἐκδέχου ὅπως βούλει· ἐμοὶ γὰρ ὧδε τὰ τῆς γνώμης ἔχει, ἄποθεν εἶναι τοῦ ἄστεος εἴς τε νῦν καὶ τὸν ἄλλον ἅπαντα χρόνον, ὅντινα ἂν ζῆν ὁ θεὸς ἡμῖν διδῷ. Τοῦ αὐτοῦ.

25 1 (t) Κρῖνις, ᾧ δέδωκα τὴν ἐπιστολήν, ἔστι μὲν πάλαι καὶ σοὶ φίλος, ἐπεὶ δὲ ἡ ἀρχὴ τῆς γνώσεως ἀφ’ ἡμῶν γέγονε, καλῶς ἔχειν οἶμαι καὶ νῦν, ὥσπερ ἑτέραν ἀρχὴν ποιούμενος συστάσεως, παρακαλέσαι σε πρὸς τὴν ἐπιμέλειαν αὐτοῦ. τυγχάνει γὰρ βουλόμενος στρατεύεσθαι καὶ πράττειν τι τῶν κατ’ ἀξίαν αὐτοῦ. σχεδὸν δὲ βραχὺς ὁ μετὰ ταῦτα λόγος· οὔτε γὰρ ἡμᾶς ἀγνοεῖς πῶς ἔχομεν πρὸς Παράμονον καὶ Κρῖνιν, οὔτε τὸν νεανίσκον ὅτι σώφρων καὶ μέτριος καὶ εἰς πᾶσαν ὁμιλίαν ὡς εἰπεῖν καὶ χρείαν ἀσφαλής. δεῖν γάρ φασι τεκμαίρεσθαι τὰ μέλλοντα τοῖς γεγονόσι, καὶ μάλιστα τῇ ἰδίᾳ φύσει καὶ προαιρέσει. τοῦτον δὲ πάντες ὁμολογουμένως ἐπαινοῦσιν. ὡς οὖν ὄντος καὶ τοιούτου καὶ ἡμετέρου καὶ σοῦ φίλου πειρῶ τὴν ἐνδεχομένην περὶ αὐτοῦ ποιεῖσθαι σπουδήν· ἄξιοι γὰρ οἱ τοιοῦτοι χάριτος. Τοῦ αὐτοῦ.

26 1 (t) Πολλάκις ἀναγγέλλοντος τοῦ Ἀθηνοδώρου τὴν ὑμετέραν προαίρεσιν, ἐδοκίμαζον γράψας πρὸς ὑμᾶς ἀσπάσασθαί τε καὶ προσαγορεῦσαι καὶ διὰ τὴν πρὸς ἐμὲ συνήθειαν ἧς φαίνεσθε μνημονεύειν, καὶ διότι περὶ Διονύσιον ὅμοιοι διαμένετε ταῖς εὐνοίαις. ἤθους γὰρ κρίσιν οὐδεμίαν ἀκριβεστέραν ἡγοῦμαι τῆς ἐν φιλίᾳ βεβαιότητος, ἧς ὑμᾶς αἰσθάνομαι καὶ παρὰ τὴν ἡλικίαν ἐπιμελουμένους. ὡς οὖν καὶ διὰ ταῦτα καὶ διὰ τὴν ἄλλην ἐπιείκειαν ὑμῶν, ἣν πυνθάνομαι πολὺ μᾶλλον νῦν ἢ πρώην, ἀπερχομένου μου πειρᾶσθε καὶ τὸν ὑπόλοιπον χρόνον εἶναι τοιοῦτοι, νομίζοντες ἐλευθεριωτάτην ἐπικαρπίαν εἶναι τῆς τοιαύτης διαθέσεως τὴν παρὰ τῶν εὖ ζώντων εὐφημίαν. Φαῖδρος Πλάτωνι.

27 1 (t) Γράφεις μοι ὡς λυπεῖν με μὴ θέλων ἀπεκρύψω ὅτι μέλλεις ἄρα πορρωτέρω ἀποδημεῖν, καὶ αὐτὸς δὲ ἄρχομαι ποθεῖν σε νὴ τὸν Δία τὸν Ὀλύμπιον. ἀλλὰ πρὸς Διὸς φιλίου τε καὶ ἑταιρείου, ὦ Πλάτων, καὶ τοῦ εἴτε κατὰ γῆν ἐν εὐσεβῶν χώρῳ ὄντος εἴτε κατ’ ἄστρα (ὅπερ καὶ μάλα πείθομαι) Σωκράτους, μὴ περιίδῃς ἡμᾶς ἀπαιδεύτους εἰς τέλεον γενομένους, ἀλλ’ ἵνα ἥντινα προκοπὴν ἔσχομεν ἐπ’ ἐκείνου τοῦ δαιμονίου ἀνθρώπου, ταύτην σὺ σώσας ἐπί τι ἀγάγῃς τέλος. ἐμοὶ γὰρ ἥδιον φιλοσοφίας οὐδὲν καὶ τῶν ἐν φιλοσοφίᾳ λόγων· ἐτιθηνήθην γὰρ ἐκ νέου ἔτι παιδὸς Σωκρατικοῖς ὡς ἄν τις εἴποι βαυκαλήμασιν ἐν παντὶ ἁρμοδίῳ καὶ ἱερῷ τόπῳ, τοῦτο μὲν ἐν τῇ ἀκαδημείᾳ, τοῦτο δὲ ἐν Λυκείῳ τε καὶ Ἰλισσῷ ὑπὸ τῇ θείᾳ πλατάνῳ ἱσταμένης μεσημβρίας, ἵνα Λυσίας ὁ Κεφάλου τὰ περὶ ἔρωτος διωρθοῦτο.

27 2 ἐν οὖν τοῖς τοιούτοις χωρίοις περιάγων τε καὶ περιαγόμενος ἀρετῆς τῆς ἀφ’ ὑμῶν ἐπιμπλάμην καὶ ἦν ἐπίφθονος Ἀλκιβιάδῃ τε τῷ Κλεινίου καί τισιν ἄλλοις τῶν νέων, οἳ μᾶλλον ἐβούλοντο ἐμοῦ προεδρίας ἀξιοῦσθαι παρ’ ὑμῖν τοῖς σοφοῖς, καὶ οὐδέποτέ με καταπροέδοτε, τῷ ὄντι ἐνεθίσαντες φιλοσοφίᾳ, ἧς ἐδίψων εἰς τὸ πάμπαν. Πλάτωνι.

28 1 (t) Οἱ ἀπ’ Αἰγύπτου ἀφικόμενοι ἀγαθοὶ ἄνδρες ἀπήγγελλον ἡμῖν ὅτι τὴν πᾶσαν Αἴγυπτον περισκεψάμενος νῦν διατρίβεις περὶ τὸν Σαϊτικὸν νομὸν λεγόμενον, ἐκπυνθανόμενος τῶν κεῖθι σοφῶν ὅ τι αὐτοῖς φαίνεται περὶ τοῦ σύμπαντος, ὅπως ἐγένετο καὶ ᾧ λόγῳ νῦν τὴν πᾶσαν κίνησιν ἔχει κατὰ μέρος καὶ κατὰ τὸ ὅλον. δυσκόλως δέ φασιν αὐτοὺς τοῖς Ἕλλησι διαλέγεσθαι, ὅτῳ δήποτε οὖν παθήματι χρωμένους, εἰ μὴ ὅσον Πυθαγόρᾳ ἐκοινώνησαν τοὺς λόγους τοὺς περὶ φύσεως καὶ γεωμετρίας καὶ τοῦ ἀριθμοῦ οἱ περὶ Ἡλιούπολιν. καὶ τούτῳ γε οἶμαι τερατευσαμένῳ αὐτούς, ὥς τινες ἱστοροῦσι (ἐμέμνηντο γὰρ τῶν μύθων τῶν περὶ Πυθαγόραν, ἡνίκα τὰ περὶ Αἴγυπτον διηγοῦντο ἡμῖν, Τίμαιός τε καὶ Θεόδωρος ὁ Κυρηναῖος), ἢ καὶ ἄλλως ἐπελθὸν αὐτοῖς οἰκειωθῆναι. εἰ δὲ καὶ σοὶ νῦν, καὶ τὰ οἴκοι Ἀθήνησι πάντα κατὰ θεὸν ἔχει.

28 2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπίστελλε δὲ ἡμῖν καὶ πάλιν σὺ ὅπως διάκεισαι τοῦ σώματος, ὡς τά γε τῆς ψυχῆς ἑκάστοτε ἴσμεν ὑγιᾶ διά τε φρόνησιν καὶ ἀρετήν. καὶ εἴ του δέοιο τῶν σῶν, γράφε ἡμῖν· τὰ γὰρ ἐμά, ὦ Πλάτων, σά φημι εἶναι δίκῃ ἁπάσῃ, ὥσπερ καὶ Σωκράτους ἦν. σημανεῖς δ’ ἡμῖν περὶ τῶν ἐγχωρίων θεαμάτων καὶ τῆς περὶ ταῦτα μεγαλουργίας, τομάς τε λίθων εἰς ἄπλετόν τι μέγεθος ἐγηγερμένας καὶ ἐργασίας αὐτῶν ἀνδρεικέλους τε καὶ εἰς τὰ ἄλλα ζῷα ἀπεσχηματισμένας τέχνῃ τε παλαιᾷ καὶ οὐκ εἰς τὸν τρόπον τὸν Ἑλληνικόν, καὶ ἃ τῶν ἄλλων πάλιν τεχνημάτων πολυμόρφων ζῳδίων ἐπιδείκνυται τὴν ἰδίαν φύσιν καὶ ἄσκησιν ἀκεκτονοίαν τῆς ἐπινοίας τῆς ἐν τοῖς γενομένοις. ἄσμενος δ’ ἂν καὶ αὐτὸς τῶν πυραμίδων κατεῖδον τὸ μέγεθος καὶ τὴν Μέμφιν, καὶ αὐτήκοος ἐγενόμην τοῦ ἱεροῦ λόγου καὶ τῆς παγκάλης τοῦ Νείλου θέας αἱ διερχομένου δὲ τὴν Αἴγυπτον καὶ ἐπισχόμενα τῇ πλημμυρίδι κατὰ τὴν ἑτέραν ὥραν καὶ τὴν εἰς τοὔμπαλιν ἀπόρροιαν αὐτοῦ.

28 3 ταῦτα γὰρ πάντα εἰς τὸ ἄπιστον λεχθῆναι νομίζω, ἃ παρὰ τοῖς πολλοῖς οὕτω μεγάλα ἐστὶ καὶ ἀξιέραστα τῆς ὄψεως. Ἀρίστιππος τῇ ** .

29 1 (t) Ἐκομισάμην παρὰ σοῦ γράμματά μοι πεμφθέντα διὰ τέλους, ἐν οἷς ἐδέου με παραγενέσθαι ὡς τάχιστα εἰς Κυρήνην, λέγουσα οὐκ εὖ σοι ἀπαντᾶσθαι οὔτε παρὰ τῶν ἐπισκόπων, οὔτε ἱκανὸν εἶναι οἰκονομῆσαι τὸν ἄνδρα αἰδῶ τε ἔχοντα καὶ θορύβων πολιτικῶν ζῆν μακρὰν εἰθισμένον. ἐγὼ δὲ πειρώμενος ὡς ἂν ἀφεθείην ὑπὸ τοῦ Διονυσίου πλεῦσαι πρὸς σέ, ἐμποδών μοι τοῦ χρεὼν στάντος ἐν Λιπάραις μαλακῶς ἔσχον, ὅτε δὴ καὶ τοὺς περὶ Σώνικον ἄριστά μοι προσφερομένους ἐνόησα τημελοῦντάς με γνησίως καὶ ὡς ἂν εἰ ..... ἀρκεῖταί τις ζῆν τῶν διάθεσιν φιλικήν. περὶ ὧν δὲ ἔκρινας τίνα ἕξεις τιμὴν ὑπ’ ἐμοῦ ἠλευθερωμένοις, οἳ καὶ ἔλεγον Ἀριστίππου μὴ ἀποχωρήσειν, ἕως ἂν αὐτοῖς ᾖ δύναμις ἀρέσκειν ἐκείνῳ τε καὶ σοί, πάντ’ οὖν αὐτοῖς πίστευε· περιέσται γὰρ αὐτοῖς ἐκ τῆς ἐμῆς βιοτῆς μὴ εἶναι κακοῖς.

29 2 ὑποτίθεμαι δέ σοι τὰ πρὸς ἄρχοντας οἰκονομεῖν, ὥστε τὸ ἐμὸν συμβούλευμα τοῦτο συμφέρον. τοῦτο δὲ ἦν μὴ τοῦ πλείονος ὀριγνᾶσθαι· ῥᾷστα γὰρ ἂν οὕτως ἐξάγοις τὰ κατὰ τὸν βίον, ὑπεροπτικὴ παντὸς οὖσα τοῦ πλέονος. οὐ γὰρ δὴ ἐκεῖνοι τοσοῦτόν σε ἀδικήσαιεν ἄν, ὥστε σε ἐνδεᾶ γενέσθαι. οἱ δύο μὲν γάρ σοι κῆποι μένουσιν ἱκανοὶ ὄντες καὶ πολυτελεῖ βίῳ, τὸ δ’ ἐν τῇ Βερενίκῃ κτῆμα καὶ μόνον καταλειφθὲν πρὸς ἀρίστην διαγωγὴν οὐχ ὑπολείψει. τῶν μικρῶν ὑμᾶς οὐ παρακελεύομαι καταφρονεῖν, ἀλλὰ μὴ ἐπὶ μικροῖς ταράττεσθαι ἔνθα οὐδὲ ἐπὶ μεγάλοις καλὸν ἡ ὀργή.

29 3 εἰ δέ μου διαλυθέντος ὑπὸ τῆς φύσεως ποιῆσαι ἐμὸν βούλημα ζητεῖς, ὡς ὅτι κράτιστα παιδεύσασα τὸν Ἀρίστιππον Ἀθήναζε χώρει, Ξανθίππην τε καὶ Μυρτὼ πρὸ παντὸς ποιουμένη, αἵ με πολλάκις ἐλιπάρουν ἐπὶ μυστήριά σε ἄγειν. τὸ οὖν ἡδὺ βιότευμα μετὰ τούτων ἔχουσα κατάλιπε τοῖς ἐν Κυρήνῃ ἐπισκόποις ὅ τι ποτ’ ἂν ἐθέλωσιν ἀδικεῖν (σὲ γὰρ οὐκ εἰς τὸ φυσικὸν τέλος ἀδικήσουσι), πειρῶ δὲ μετὰ Ξανθίππης καὶ Μυρτοῦς ζῆν, ὡς ἐμοὶ φίλον μετὰ Σωκράτους, πλέον διὰ τὴν ἐκείνων φιλίαν σεαυτὴν στέλλουσα· κεῖθι γὰρ τὸ σοβαρὸν οὐκ ἐπιχώριον. εἰ δ’ ἔλθοι θᾶττον ἅμα Λαμπροκλῆς εἰς Κυρήνην ὁ Σωκράτους, ὃς ἐν Μεγάροις ὡμίλει μοι, ποιήσεις ἄριστα κοινουμένη τὸν βίον αὐτῷ καὶ μηδὲν διαφορώτερον τοῦ τέκνου τιμῶσα.

29 4 θῆλυ δὲ τέκνον εἰ μηκέτι τρέφειν βούλει διὰ τὸ πολλάκις ἀνιᾶσθαι ἐπὶ παιδοτροφίᾳ τὸ τῆς Εὐβοΐδος θυγάτριον ** , ὃ δὴ ἐλευθέρως ἦγες, ἐμοί τε χαρίζεσθαι βουλομένης ἐπὶ τῷ τῆς ἐμῆς μητρὸς ὀνόματι· καὶ γὰρ ἐγὼ πολλάκις Μίκαν αὐτὸ προσηγόρευσα. πρὸ παντὸς δὲ ἐπισκήπτω σοι τοῦ μικροῦ Ἀριστίππου ἐπιμελεῖσθαι, ὅπως ἄξιος ἡμῶν καὶ φιλοσοφίας· ταύτην γὰρ αὐτῷ καταλείπω τὴν ὄντως κληρονομίαν· τἄλλα μὲν γὰρ τοῦ βίου καὶ τοὺς ἐν Κυρήνῃ ἄρχοντας ἔχει πολεμίους. περὶ φιλοσοφίας δὲ οὐδὲ ἕν μοι γέγραφας, ὅτι ταύτην σού τις ἀφῄρηται.

29 5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέγα οὖν, ὦ ἀγαθὴ γύναι, χαῖρε ἐπὶ τῷ πλουτεῖν πλοῦτον τὸν ὑπὸ σοὶ κείμενον καὶ κτηματίτην ποίει τούτου τὸν υἱόν, ὃν ἐβουλόμην μὲν αὐτὸς ἤδη ἐμὸν υἱὸν εἶναι· ἐπειδὴ δὲ ἀναλύω μὴ ἐμπλησθεὶς αὐτοῦ, πέποιθα καὶ σοί, διότι τὴν αὐτὴν ἄξεις πορείαν τὴν συνήθη ἀγαθοῖς ἀνδράσιν. ἔρρωσο καὶ περὶ ἡμῶν μὴ ἀγανάκτει. Οἶμαι φανερὰν εἶναι διὰ παντὸς τοῦ χρόνου τὴν ἐμὴν προθυμίαν καὶ ὅτι πολλὴν πρόνοιαν εἶχον περὶ ὑμῶν οὐκ ἄλλου τινὸς ἕνεκα μᾶλλον ἢ τῆς ἐπὶ τοῖς καλοῖς φιλοτιμίας· νομίζω γὰρ δίκαιον εἶναι τοὺς ὄντας τῇ ἀληθείᾳ ἐπιεικεῖς καὶ πράττοντας τοιαῦτα τυγχάνειν δόξης τῆς προσηκούσης· ὅτι δὲ τὰ καιριώτατα τοῦ σώματος κάμνοντι, ἡ κεφαλὴ καὶ τὰ ἐν αὐτῇ περίεστιν, εὖ ἔχει, τῶν δὲ λοιπῶν τὴν προσήκουσαν ἐπιμέλειαν ποιοῦ μετὰ τῶν ἰατρῶν καὶ αὐτὸς ἐπιβλέπων τὸ χρήσιμον· ἀνδρείᾳ γὰρ καὶ ῥώμῃ καὶ τάχει διενεγκεῖν δόξειεν ἂν χαρίεντος εἶναι.

34 2 ἐγὼ δέ, καθάπερ καὶ σὺ οἶσθα, Πλάτωνα θαυμάσας, δι’ ἐκεῖνον καὶ τὴν πόλιν ὑμῶν καὶ τὴν ἐν ἀκαδημείᾳ διατριβὴν ᾑρούμην, καὶ διέμεινα πάντα τὸν χρόνον ἀνέγκλητον ἐμαυτόν, ἐφ’ ὅσον ἠδυνήθην, πρὸς τὸ ἐκείνου ἦθος διατηρήσας. ἐπεὶ δὲ κατὰ τὰ συμβαίνοντα ἐκεῖνος μὲν ἐχωρίσθη τῆς ἐν ταὐτῷ ἡμῖν συνουσίας, τὰ δὲ νομιζόμενα συνετελέσαμεν καὶ κοινῇ καὶ ἰδίᾳ τιμῶντες ἐκεῖνον, ἐχωριζόμεθα κατὰ τὰς αἱρέσεις, ἃς ἕκαστος ἡμῶν ἐδοκίμαζεν. ἐγὼ μὲν οὖν ἀεί ποτε καὶ τῇ φύσει παντελῶς οἰκεῖος ἡσυχίας καὶ σχολῆς ὑπῆρχον, ἀνυπεύθυνός τε ἀνθρώποις εἰς τὸ δυνατὸν ᾑρούμην διαγενέσθαι· καὶ γὰρ ἐφιλοσόφουν, ὅπως ἐμαυτοῦ τε, ὡς οἷόν τε ἦν, καὶ τῶν ἄλλων ἀνθρώπων διάφορος γένωμαι.

34 3 δεῖ οὖν φανερὸν γενέσθαι διότι εἰμὶ οἷόσπερ φημί, ἄλλως τε καὶ ἐπεί γε, σὺν θεῷ εἰπεῖν, ῥᾴδιόν ἐστιν ἔρρωσο. Ἔδοξέ μοι γράψαι ἐπιστολάς, τὴν μὲν ἑτέραν μᾶλλόν τι σεμνυνομένην, τὴν δὲ τῶν κατ’ οἶκον εἰθισμένων λέγεσθαι τρόπον· καὶ γὰρ ἐνεθυμήθην ὅτι δοκοῦσιν ἐνίοτε συμβαίνειν ἀκαιρίαι τοῦ λαμβάνειν τὰ ἐπεσταλμένα.

35 1 ὁτὲ μὲν γὰρ τυγχάνει ἅτερος ἡμῶν σπουδάζων, ἔστι δ’ ὅτε πρὸς παιδιὰν ἀνειμένος καὶ ἱλαρώτερον ἔχων, τῷ τε παρρησίαν ἄγειν ἁπλῶς ἡδόμενος. πρῶτον μὲν οὖν συγχαίρω Συρακουσίοις ὅτι πέπαυνται τὸν χοῖρον ἴακχον καλοῦντες καὶ τὸν βοῦν γαρόταν καὶ βαλλάντια τὰ ἀκόντια, καρποτόκον τε μῆνα, ὅτι καρπὸς ἐν αὐτῷ γίνεται, καὶ τὰ εἰς Δελφοὺς πεμφθέντα ἀναγράψαι τὰ σοφά, ἐφ’ οἷς ἔοικεν ὁ Ἀπόλλων οὐχ ὡς πατὴρ διατεθῆναι ἀκούσας καὶ τὸ ἁμάξιον ἰδὼν τὸ ἐν τῷ ἱπποδρόμῳ περιτρέχον αὐτόματον, ἀλλά μοι δοκεῖ βουληθῆναι παῦσαι ἀφικνούμενον αὐτὸν τοιαῦτα θεωρήματα. ὀρθῶς οὖν ἔχει ἴσως τῶν καλῶν γενομένους θεοφιλήτους νομίζειν. ἐγὼ δὲ οὔπω σε μιμνήσκω τῆς ἐπιστολῆς ἣν ἔγραψας πρὸς ἐμέ, ὅτι αἴτιος εἴην ἐγὼ τοῦ ἐπιμεληθῆναι τὴν πρᾶξιν ταύτην καὶ μὴ ἀνεθῆναι, καὶ ἔφης καλῶς ποιεῖν, εἰ καὶ αὐτὸς ἀνεχοίμην ἀπορίας καὶ πραγματείας. ἕτερος μὲν οὖν ἄν τις εὐθέως μεμνημένος ἐπιστολὰς ἔπεμπε πρὸς σὲ νῦν, κελεύων ἐκείνων μεμνῆσθαι, ἐγὼ δὲ καιρὸν τηρήσας τότε ἐπιστελῶ. πάνυ δὲ πολλοῦ ἐτιμησάμην ἂν ἀπὸ μηχανῆς θεωρεῖν πότερον ἐκεῖνο τὸ σχῆμα διατελεῖς ἔχων ἢ γέγονας ἡμῖν σεμνός τε καὶ αὐθάδης, ὅτι διαλέγεται περὶ σοῦ τὰ παιδία ἐν ταῖς ὁδοῖς καὶ Πολύξενος ἐν τοῖς πορθμείοις καθήμενος καὶ οἱ ποιμένες ἐν τοῖς ὄρεσι. τουτὶ τὸ νεανικόν ἐστι καὶ ἀγητόν; οὐ δήπου. ἀλλὰ νῦν δείξεις οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασιν ἀδικίας ἀνέχοντες, ὅθεν δὴ γίνεται πάντα τὰ καλά. καὶ τὴν ἀκαδήμειαν κοσμήσεις, ὥστε κλέος αὐτῆς εἶναι ὅσον τ ’ ἐπικίδναται ἠώ ς. ἐμοὶ δὲ χεῖρες μὲν καὶ πόδες φύσονται πλείονες ἢ τῷ Γηρυόνῃ· τόν τε γὰρ Φιλιστίωνα ἀποπέμψετε καὶ ἄλλον ὅντινα τρόπον δυνατόν ἐστι τὴν δύναμίν μου αὐξήσετε. ἀπόπεμψον δέ μοι μίαν ** Μοίριδος καὶ Ἐχεκράτους πυθόμενος τὰς παρὰ Διονυσίῳ συνουσίας· πάνυ γὰρ ἀξιηκόους αὐτὰς οἴομαι εἶναι ἀνδρὸς Φοίβου κοινώμασι βλαστόντος. ἐπίστελλε δὲ καὶ εἴ που δεῖ ἐπιμελεῖσθαι τῶν ἐνθάδε ἢ ἰδίᾳ πρὸς τὴν πόλιν ἢ καὶ εἴ ποθεν ἄλλοθεν συμπαρασκευασάμενος, ὡς ἕτοιμοί εἰσιν οἵπερ συναπέστελλον ὑμᾶς. γίνωσκε δὲ ὅτι πολλοὺς οἶμαι φανεῖσθαι τοὺς ἑτοίμους ὄντας συνεπιμελεῖσθαι τῶν ὑπαρχόντων, ἐάν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σοι φαίνηται τὰ παρ’ ἡμῶν κατὰ τὸ προσῆκον ὑφηγούμενα. τὰ δὲ παρ’ ἡμῖν ἔχει παραπλησίως ὥσπερ καὶ ὑμῶν ἐπιδημούντων. ἔρρωσο. Βούλομαί σοι μετὰ παιδιᾶς παρρησιάσασθαι, ἐπειδὴ καὶ σὺ περὶ ἐμοῦ προεισβέβληκας τῷ τρόπῳ τούτῳ.

36 1 λέγω δή σοι εὖ πράττειν, εἰ ἄρα τοῦτό ἐστι τοῦ χαίρειν ἄμεινον, ὡς οὐκ ἔστιν. ἀλλὰ τῷ μὲν ἥδεσθαι ᾧ Λασθένεια καὶ Σπεύσιππος χρῆται, αἴτιος τοῦ ἐς Σικελίαν στόλου ὁμολογῶν εἶναι, καὶ πλείονας τοῦ Γηρυόνου χεῖρας καὶ πόδας ἔξων, μᾶλλον δὲ τοῦ Βριάρεω, ἐάν σοι Φιλιστίων ὁ ἰατρὸς ἀφίκηται. καὶ τἄλλα, ὅσα ἐπὶ τῷ Γαρότᾳ, περὶ οὗ σὺ εὐμαρῶς ἅτε σοφὸς ὢν ἐξηπατήθης ὡς ἔγωγε ὠνόμασα· ἅτε γὰρ οἶμαι ἐν τῷ ἥπατι τῆς Ἑλλάδος κατοικοῦντά σε οὐδὲν λέληθε. συνήδομαι δὲ τοῖς Ἀθηναίοις, εἰ μὴ ἀνάγκη αὐτοῖς ἔσται τὸν σοφιστὴν σοφὸν καλεῖν, μηδὲ τοὺς θεοῖσιν ἐχθρούς, νεκροῖσι δὲ φίλους τιμᾶν, μηδὲ τὰ περὶ τοῦ ἀγαθοῦ φενακίσματα θαυμάζειν, μηδὲ τὸ ἁμάξιον θεωρεῖν, ἐφ’ ᾧ σὺ ἐκπορεύῃ. καὶ εἰ μὴ ἀποπορεύῃ, ὅπως μὴ τὰς θύρας ἐμπίπρῃς τῶν γειτόνων, μηδὲ καταδείξῃς τὴν τῶν σατύρων σοφίαν, ἣν πρὸς ἐμέ ποτε συμπίνων ἐν Ἰταλίᾳ ἐπηγγέλλου, μηδὲ ὅτι δένδρα μὲν ἅπαντά ἐστιν, ἕτερον δὲ συκῆ καὶ μυρρίνη καὶ δάφνη, ἐφ’ οἷς μέγα φρονοῦσιν οἱ τρισάθλιοι. ἤδη γὰρ ἐνθουσιάζω τε καὶ ἐπισκοπῶ τὸ θεῖον ὡς δίκαιον κακὸν ἐπράξατο. κέλευσον δέ μοι Πολύξενόν τε καὶ τοὺς ἑταίρους καὶ τὰ γραΐδια καὶ τοὺς νομεῖς γράψαι τὰς παρ’ ὑμῖν συνουσίας· πάνυ γὰρ οἴομαι αὐτὰς ἀξιηκόους εἶναι ἀνδρὸς Κέκροπος κοινώμασι βλαστόντος, ᾧ σὺ οὐχ ὡς πάτριον ἐχαρίσω, ἀλλ’ ὡς μὴ χραίνοις τὰ ἱερεῖα, παναπόπληκτος ἐγένου, νόσων τε .... .......... ἵνα δὲ ἐπίσχῃς τὰ κατ’ οἶκον ἐπιστόλια εὐτραπέλως γράφων οὕνεκεν τοῦ εὐκαταφρονήτου ἀργυριδίου δι’ ὅπερ καὶ ὑμεῖς Ἑρμείαν κολακεύοντες τολμᾶτε θεραπεύειν. ἐπὶ δὲ ταῖς παροιμίαις τε καὶ παραβολαῖς, αἷς χαίρετε, τοιοῦτόν τι βούλομαι εἰπεῖν. φασὶ γὰρ Ἴωνάς τινας εἰς Λακεδαίμονα ἀφικομένους ἀσχημονῆσαί τι τῶν οὐκ ἐννόμων, τοὺς ἐφόρους δὲ καὶ γέροντας δεινῶς φιλοτιμηθῆναι καὶ ἐξευρεῖν αὐτούς. φοβεῖσθαι οὖν σφόδρα τοὺς ἁλόντας, ἐπεὶ ἤγοντο εἰς τὴν ἀγοράν, τοὺς δὲ Λακεδαιμονίους ἀνακηρῦξαι ὡδί πως αὐτοῦ κέλονται τοὶ ἔφοροι καὶ τοὺς μὲν ἰατροὺς ἔτι πονηροτέρους ἦμεν καὶ μέχρι μὲν τούτων ἴσασι τί ἴσον ἔχοιμεν. ἐὰν δὲ τὰ ἄλλα σωφρονήσῃς, κἀγώ σοι συσσωφρονήσω. Ταῦτά ἐστιν ἃ Ἄδραστος παρὰ Κλεινίᾳ ἔλαβεν.

37 1 ὡς ἐμὶν δὲ δοκεῖ, ταῦτα οὐκ ἄξια εἰ μὲν ὑφαμεωνότους κατυχὼν ῥιπτεῖσθαι τοσοῦτον χρόνον φυλαχθέντα οὕτως ἐμῶν ἕνεκα. οὐδὲ τῷ ἀλαζόνι εἴκω, ἀλλ’ ἐμὶν δοκέει ἐν δέοντι τυχόντα μὲν ἀνδρὸς νέω καὶ φυλακτικῶ ὑπεροφθέντα κακὸν ῥάψαι ἐς τὸν ὑπεροπτεύσαντα, ὃς διὰ τὴν δύναμιν μὲν φιλοσοφοῦντα τῷ πάθει δὲ μηδὲ τῷ ἤθει. καὶ ὅστις ἄγαν φαμὲν καὶ ὀργανικῶν καὶ ἐνυπνίων τῶν πάντα πέπτη ἐν μεστὸς εἴη καὶ οὗτος πραγματωδέστερος καὶ γένοιτο αὐτὸς αὐτῶν. ὅστις δὲ ποτὶ πάντα φέρεται κοσμηθεὶς ὑποτάξιός τινος τῶν τοιούτων, ἐννοώτερος καὶ εἴη τῷ θείῳ. συνοπαδὸς δέ μοι ἐσσὶ κατὰ φιλοσοφίαν, ὡς οὐκ ἄλλο τι οὐδὲν δεῖ λέγειν, ὅτι ἀσπάζομαί τυ. ἀλλ’ ἔρρωσο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org